§. τξέ. Πρὸ πάντων πείρας συνισταμένης, ἢ Φαινομένου προσπίπτοντος, ἐπείτοιγε ἀντιληπτικὴ τούτων τυγχάνει ἡ κατ᾽ αἴσθησιν δύναμις, ἐπιμνηστέον τῶν ἐν ἄλλοις εἰρημένων (Προδι. Β΄. §. θ΄.) περὶ Αἰσθητικῆς ἀντιλήψεως· τουτέστιν ἐπιμελητέον τῶν οἷς τὸ αἴσθημα τὸ πιστὸν ἔχει, καὶ ἀνεπίληπτον· Οἷον εἰσὶν οἳ ἀστράπτειν ἔδοξαν ἑωρακέναι κατ᾽ αὐτὴν τὴν σελήνην, τοῦ ἡλίου ποτὲ ἐκλελοιπότος. „Ἆρ᾽ ἔστιν; ἆρ᾽ οὐκ ἔστιν; ἡ γνώμη πλανᾷ· Ἀλλὰ καὶ ἡ αἴσθησις, τῶν ὅτι πορρωτάτω κατατολμῶσα· ἐχρῆν οὖν τὸ τοιοῦτο, καὶ πολλάκις, καὶ ὑπὸ πολλῶν οὕτω συμβαῖνον παρατηρηθῆναι, ἵν᾽ ἐν τοῖς Φαινομένοις ἐδόκει, εὐλόγως τάττεσθαι.

§. τξϛ΄. Αὐτουργοῦσι δὲ (ὅπερ ἀσφαλέστερον) τῇ δυνατῇ ἀκριβείᾳ ἐπὶ τῶν πειραμάτων χρηστέον. (1). Καὶ ἐν διαφέρουσι καὶ τόποις, καὶ καιροῖς τὰ αὐτὰ πειρατέον. Τῶν δὲ παρ᾽ ἄλλων, τοῖς μὲν ὑπὸ τῶν ἀπαιδεύτων παρατηρουμένοις ἐπιδιστακτέον (πολλὰ γὰρ δι᾽ ἀμαθίαν οἷον ἀβλεπτοῦντας διαφεύγει, ὑφ᾽ ὧν διαφοραὶ μεγάλαι συμβαίνειν εἰώθασι.) τοῖς δὲ ὑπὸ τῶν ἐμπειροτέρων, καὶ οἵπερ ἂν τρίβωνες ἤδη τὰ τοιαῦτα εἶεν μεταχειρίζεσθαι δεξιῶς, καὶ ἐπισταμένως παρατηρεῖν, πιστευτέον. Πλὴν ἀλλ᾽ ὅπῃ παρείκοι, τὰ αὐτὰ καὶ καθ᾽ ἑαυτοὺς ἐπαναληπτέον. Καὶ τάγε ὑπὸ πλειόνων, εἰ τύχοι, ληφθέντα, ἀλλήλοις παρεξεταστέον· τὸ γὰρ τῶν μαρτυρούντων σύμφωνον κἀνταῦθα εἰς πίστιν (§. τλδ΄. τλή.) ἰσχυρότατόν ἐστιν.

§. τξζ΄. Ἔτι μὴ πεῖραν οἴεσθαι, μηδὲ Φαινόμενον, τὸ ἐκ πείρας ἄλλως, ἢ Φαινομένου, στοχασμῷ τε καὶ εἰκασίᾳ ἐπιφέρεσθαι δοκοῦν· τοῦτο δὴ τὸ κατὰ τὴν συναρπαγὴν ἀκοῦον ἁμάρτημα, ὅτισιν ἁμαρτάνεται. Οἷον δὴ πείρᾳ διατείνονται κατέχειν, ὅτι Κομῆται ὀφθέντες, τῶν ἐν ὕψει ἀξιωμάτων θάνατόν τινος καταγγέλλουσι. Καὶ μετὰ σεισμὸν, ὅτι νόσοι τῇ σεισθείσῃ χώρᾳ ἐπιδημοῦσιν. Ἀλλὰ σεισμοὶ μὲν, καὶ Κομῆται τῶν Φαινομένων εἰσὶν ὁμολογουμένως. Καὶ θάνατοι δὲ, καὶ νόσοι ἐνσκήπτουσαι ὁμοίως. Ὁ δὲ τῆς τούτων πρὸς ἐκεῖνα σχέσεως λόγος, κἂν ἦ τις, οὐκέτι πείρας οὐδὲ Φαινομένου ὅρος ἔσται, ἐπεὶ οὐδὲ αἰσθήσει ληπτός.

§. τξή.

(1) Πολλῆς δεῖται τῆς προσοχῆς ἡ πειραματικὴ πραγματεία, περὶ ἧς διεξοδικῶς φησὶ διελθεῖν Κράφφτιος (Φυσ. 206) ἐν ἰδίᾳ Φυσικῇ Διατριβῇ, De vera experimentorum physicorum constitutione.



§. τξή. Πολλῆς δὲ τῆς παραφυλακῆς χρεία καὶ ἐπὶ τῶν Ἀποφατικῶς Φαινομένων· Ἐκεῖνα δὲ λέγω, ὅσα ἐν τοῖς ὁμοιοπαθεῖν Φαινομένοις ἐξῃρῆσθαι δοκεῖ. Οὐ γὰρ ἀσφαλὲς τὰ τοιαῦτα ἁπλῶς παραδέχεσθαι, ἐπειδὰν μάλιστα τῶν σπανίως ἢ ξυμβαινόντων, καὶ ὧν οὐ ῥᾴδιον ἀπόπειραν λαβεῖν. Τοῦ μὲν οὖν εἶναι τοὺς ὧν οἱ κόρεις οὐχ ἅπτονται, οὐδὲν ἔργον παρατηρῆσαι καὶ πιστωθῆναι· τὸ δ᾽ ὅτι κεραυνὸς, φέρε, διὰ τῶν ἐν ὕδασιν ὑποβρυχίων τῆς νεὼς οὐ πέφυκε διελαύνειν, ἢ ὅτι τῶν ὑπὸ κεραυνοῦ διαφθαρέντων ἄσηπτα τὰ σώματα διαμένει, καὶ τὸ τοὺς καθεύδοντας μὴ κεραυνοῦσθαι, καὶ τὰ τοιουτότροπα, χαλεπὸν τὴν πίστιν λαβεῖν ἐκ παρατηρήσεως. Καὶ ταῦτα μὲν δὴ αὐτὸς ἐν τοῖς λεγομένοις τάξαιμι, ἢ τοῖς Φαινομένοις.

§. τξθ΄. Τοὐναντίον δὲ καὶ τὸ ἐξ ἑνὸς, ἢ δυοῖν πειραμάτων, ἢ Φαινομένων συμφώνως ἀλλήλοις ἐχόντων, τὸ καθόλου ἐπιφέρειν ἀποφαινομένους, οὐ πόρρω θρασύτητος ὂν, (Προδι. Β΄. §. ιθ΄.) καὶ σφαλερώτατόν ἐστι. Πῶς γὰρ οὔ; ὁπότε καὶ ἐφ᾽ οἷς οὐ πάνυ ὀλίγα συμβαίνει, τὸ κατὰ παντὸς ὅμως ἐφωράθη ψευδόμενον; Ἑώρων μὲν ἄνθρωποι πάλαι τὰ πλανητῶν σώματα ταῖς ἀφ᾽ ἡλίου ἀκτῖσι καταυγαζόμενα, εἰσέβαλλον δὲ κομιδῇ ἀπαιδεύτως, καὶ τοὺς ἀπλανεῖς τῶν ἀστέρων, ἑτεροφώτους εἶναι κατὰ τοὺς πλάνητας. Ψύχος συστέλλον γῆν, καὶ κηρὸν, καὶ πολλὰ τῶν σωμάτων ἄλλα ὠπτάνετο, καὶ κοινή τις αὕτη παρὰ τοῖς Φυσικοῖς ἐκυλίετο δόξα, μηδὲν ὅλως ἐν τοῖς σώμασιν εἶναι τὸ ὑπὸ τοῦ ψύχους μὴ συστελλόμενον· Καίτοι τοὐναντίον συμβαίνειν ἀποκρυσταλλουμένῳ τῷ ὕδατι, πείρᾳ κοινῇ δεδοκίμασται.

§. το΄. Ἐπειδὴ δὲ τάς τε πείρας λαμβάνουσι, καὶ τὰ Φαινόμενα παρατηροῦσι τέλος πρόκειται, εἴπως τούτων τὴν αἰτίαν λανθάνουσαν διασμιλεῦσαι γένοιτο, ἐλευθέρῳ Νῷ, καὶ ἀπαθεῖ πρὸ παντὸς τῆς ἐρεύνης ἁπτέον· (Προδι. Β. §. κ΄. κα΄. κϛ΄.). Καὶ τοῦ μὲν πρὸς τὸ σφίσι δοκοῦν ἐκβιαζομένους ἀνθέλκεσθαι πᾶν τὸ συμβαῖνον φιλονεικεῖν, ἀφεκτέον· τοὐναντίον δὲ τὴν δόξαν πρὸς αὐτὰ τὰ πράγματα μεθαρμοστέον. Ὧ δὴ προσέχειν τοσούτῳ μᾶλλον παραινοῦμεν, ὅσῳ καὶ τῶν ἄλλως εὐδοκιμηκότων, ὡς πλείστους ἴσμεν, οἳ οὐκ ἔστιν ἐφ᾽ ὅτῳ τῶν Φαινομένων τὸ καθ᾽ ἑαυτοὺς δόγμα ἐπονειρῶξαι οὐκ ἔδοξαν, ὡσανεὶ κάρῳ δεινῷ τῇ προλήψει κατασχεθέντες, καὶ ψόγον, ἢ κλέος ἐντεῦθεν ἀράμενοι.

§. τοά.